πάλιν ἐλπὶς σωφροσύνης; Πάσης ἑαυτὸν προλαβὼν ἀπολογίας ἀπεστέρησεν ὁ βασιλεύς, πρῶτον μὲν ἀγνοήσας τὸν ποιήσαντα αὐτὸν καὶ εἰς τὴν τίμην ἀγαγόντα ἐκείνην, καίτοι τῆς δυνάμεως αὐτοῦ καὶ προνοίας τεκμήρια διηγεῖσθαι ἔχων, καὶ ἐπ' αὐτοῦ, καὶ ἐπὶ τῶν προγόνων αὐτοῦ γεγενημένα πολλά· μετὰ δὲ τοῦτο πάλιν τῆς σοφίας αὐτοῦ καὶ τῆς προγνώσεως ἐναργῆ σημεῖα λαβών, καὶ μαγικὴν καὶ ἀστρονομίαν καὶ πᾶσαν τῆς διαβολικῆς μαγγανείας τὴν σκηνὴν ἀνατραπεῖσαν ἰδών, χαλεπώτερα τῶν προτέρων ἐπεδείξατο. Ἃ γὰρ οἱ σοφοὶ μάγοι Γαζαρηνοὶ διασαφῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὡμολόγουν μείζονα ἢ κατὰ ἀνθρωπίνην εἶναι διάνοιαν, ταῦτα παιδίον αἰχμάλωτον ἐπιλύσασθαι ποιήσας αὐτῷ, οὕτως αὐτὸν ἐπηγάγετο ἐκείνῳ τῷ θαύματι, ὡς μὴ μόνον αὐτὸν πιστεῦσαι, ἀλλὰ καὶ τῇ οἰκουμένῃ πάσῃ τοῦ δόγματος τούτου γενέσθαι κήρυκα καὶ διδάσκαλον σαφῆ· ὥστε εἰ καὶ πρὶν ἢ σημεῖον τοιοῦτον λαβεῖν, ἀσύγγνωστος ἦν ἀγνοῶν τὸν θεόν, πολλῷ μᾶλλον μετ' ἐκεῖνο τὸ τέρας καὶ τὴν ὁμολογίαν αὐτοῦ καὶ τὴν διδασκαλίαν τὴν εἰς ἑτέρους γεγενημένην. Οὔτε γὰρ ἂν μὴ πιστεύσας καλῶς ὅτι μόνος ἐστὶν ὁ θεὸς ἀληθὴς τοσαύτην εἰς τὸν αὐτοῦ θεράποντα τιμὴν ἐπεδείξατο, καὶ τοιαῦτα τοῖς ἄλλοις ἐνομοθέτησεν. Ἀλλ' ὅμως μετὰ τὴν τοιαύτην ὁμολογίαν εἰς εἰδωλολατρίαν πάλιν ἐξέπεσεν, καὶ ὁ πεσὼν ἐπὶ πρόσωπον καὶ τὸν τοῦ θεοῦ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/36 UNIVERSITÄT LEIPZIG